Worksheet 6. *Identify the major sections.*

1 παῦλος δέσμιος χριστοῦ ἰησοῦ καὶ τιμόθεος ὁ ἀδελφὸς φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ
ἡμῶν 2 καὶ ἀπφίᾳ τῇ ἀδελφῇ καὶ ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν καὶ τῇ κατ᾽ οἶκόν σου
ἐκκλησίᾳ / 3 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ /
4 εὐχαριστῶ τῷ θεῷ μου / πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου / 5 ἀκούων
σου τὴν ἀγάπην καὶ τὴν πίστιν / ἣν ἔχεις πρὸς τὸν κύριον ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους /
6 ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν
εἰς χριστόν / 7 χαρὰν γὰρ πολλὴν ἔσχον καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου / ὅτι τὰ σπλάγχνα
τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ ἀδελφέ / 8 διό πολλὴν ἐν χριστῷ παρρησίαν ἔχων / ἐπιτάσσειν
σοι τὸ ἀνῆκον / 9 διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ / τοιοῦτος ὢν ὡς παῦλος πρεσβύτης / νυνὶ
δὲ καὶ δέσμιος χριστοῦ ἰησοῦ / 10 παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου / ὃν ἐγέννησα ἐν τοῖς
δεσμοῖς ὀνήσιμον / 11 τόν ποτέ σοι ἄχρηστον / νυνὶ δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον / 12 ὃν ἀνέπεμψά
σοι αὐτόν / τοῦτ᾽ ἔστιν τὰ ἐμὰ σπλάγχνα / 13 ὃν ἐγὼ ἐβουλόμην / πρὸς ἐμαυτὸν κατέχειν /
ἵνα ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου / 14 χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν
ἠθέλησα / ποιῆσαι / ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ / ἀλλὰ κατὰ ἑκούσιον / 15 τάχα
γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν / ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς / 16 οὐκέτι ὡς δοῦλον / ἀλλὰ
ὑπὲρ δοῦλον ἀδελφὸν ἀγαπητόν / μάλιστα ἐμοί πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ
/ 17 εἰ οὖν με ἔχεις κοινωνόν / προσλαβοῦ αὐτὸν ὡς ἐμέ / 18 εἰ δέ τι ἠδίκησέν σε / ἢ ὀφείλει
/ τοῦτο ἐμοὶ ἐλλόγα / 19 ἐγὼ παῦλος ἔγραψα τῇ ἐμῇ χειρί / ἐγὼ ἀποτίσω / ἵνα μὴ λέγω σοι
/ ὅτι καὶ σεαυτόν μοι προσοφείλεις / 20 ναί ἀδελφέ ἐγώ σου ὀναίμην ἐν κυρίῳ / ἀνάπαυσόν
μου τὰ σπλάγχνα ἐν χριστῷ / 21 πεποιθὼς τῇ ὑπακοῇ σου / ἔγραψά σοι / εἰδὼς / ὅτι καὶ ὑπὲρ
ἃ λέγω / ποιήσεις / 22 ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν / ἐλπίζω γὰρ / ὅτι διὰ τῶν προσευχῶν
ὑμῶν χαρισθήσομαι ὑμῖν / 23 ἀσπάζεταί σε ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν χριστῷ ἰησοῦ
24 μᾶρκος ἀρίσταρχος δημᾶς λουκᾶς οἱ συνεργοί μου / 25 ἡ χάρις τοῦ κυρίου ἰησοῦ χριστοῦ
μετὰ τοῦ πνεύματος ὑμῶν /